## *Deucalión construye un arca para salvarse del castigo de Zeus*

*Ἐπεὶ δὲ ἀφανίσαι Ζεὺς τὸ χαλκοῦν ἠθέλησε γένος, ὑποθεμένου* ***Προμηθέως****,* ***Δευκαλίων*** *τεκτηνάμενος* ***λάρνακα****, καὶ τὰ ἐπιτήδεια ἐνθέμενος, εἰς ταύτην μετὰ* ***Πύρρας*** *εἰσέβη. Ζεὺς δὲ πολὺν ὑετὸν ἀπ᾽ οὐρανοῦ χέας τὰ πλεῖστα μέρη τῆς Ἑλλάδος κατέκλυσεν, ὥστε διαφθαρῆναι πάντας ἀνθρώπους, ὀλίγων* ***χωρὶς*** *οἳ συνέφυγον εἰς τὰ* ***πλησίον*** *ὑψηλὰ ὄρη. τότε δὲ καὶ τὰ κατὰ* ***Θεσσαλίαν*** *ὄρη διέστη, καὶ τὰ ἐκτὸς* ***Ἰσθμοῦ*** *καὶ* ***Πελοποννήσου*** *συνεχύθη πάντα.*

| | | |
|---|---|---|
| *Προμηθεύς, -έως* | *(ὁ)* | *Prometeo* |
| *Δευκαλίων, -ονος* | *(ὁ)* | *Deucalión* |
| *λάρναξ, -ακος* | *(ἡ)* | *arca* |
| *Πύρρα, -ας* | *(ἡ)* | *Pirra* |
| *χωρὶς* | | *preposición que va en anástrofe, es decir, su régimen va antes que ella* |
| *πλησίον* | | *es un adverbio pero debe traducirse por "cercanos"* |
| *Θεσσαλία, -ας* | *(ἡ)* | *Tesalia* |
| *Ἰσθμός, -οῦ* | *(ὁ)* | *Istmo de Corinto* |
| *Πελοποννήσος, -ου* | *(ἡ)* | *Peloponeso* |